(?Ἄβρ.) οὕτως ἀγα]θόν τι cοι γένοιτο, μὴ λέγε
(?) ]
(?Cμ.) οὐκ ἐς κόρακας; οἰμώξει μακρά.
εἴcειμι ν]ῦν εἴcω, caφῶς τε πυθόμενος
ὅπως ἔχει] τὰ τῆς θυγατρός, βουλεύcομαι
ὅντινα τ]ρόπον πρὸς τοῦτον ἤδη προcβαλῶ.
(?Ἄβρ.) φράcωμ]εν αὐτῶι τοῦτον ἥκοντ᾽ ἐνθάδε;
(Χαι.) φράcω]μεν. οἷον κίναδος· οἰκίαν ποεῖ
ἀνάcτα]τον.
(?Ἄβρ.) πολλὰς ἐβουλόμην ἅμα.
(Χαι.) πολλάς;]
(?Ἄβρ.) μίαν μὲν τὴν ἐφεξῆς.
(Χαι.) τὴν ἐμήν;
(?Ἄβρ.) τὴν c]ήν γ᾽. ἴωμεν δεῦρο πρὸς Χαρίcιον.
(Χαι.) ἴωμεν· ὡς καὶ μειρακυλλίων ὄχλος
εἰς τὸν τόπον τις ἔρχεθ᾽ ὑποβεβρεγμένων
οἷς] μὴ ᾽νοχλεῖν εὔκαιρον εἶναί μοι δοκεῖ.

*ΧΟΡΟΥ*

## ACTVS II

(?*ΟΝΗCΙΜΟC*)

ἐπι[cφαλῆ μὲν] πάντα τἀνθ[ρώπων
οιομ̣[
καὶ τοπ[
ὁ δεcπό[της